UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ekklēsiastēs Solomōntos Emmetrōs Metaphrastheis

**Dolscius, Paul**

**Lipsiæ, 1559**

**VD16 B 3639**

Κεφα. ιβ.

urn:nbn:de:hbz:466:1-69711

Visual Library

Κτίστορος οὖν μνήμων σέθεν ἴσθι, σέβου τε μιν ἁγνῶς,
ἣ χλόη ἡλικίης ὄφρα τέθηλε τεῆς.
πρίν σε ἐπελθέμεναι, τὰ περιπλομένων ἐνιαυτῶν
ἔρχεθ᾽ ἅπασι βροτοῖς, ἤματα πλεῖα δυῶν.
τῶν περίκεν φαίης, οὐκ ἐστί μοι ἦδος ἐν αὐτοῖς,
ἀχθομένῳ τόσσαις ἀθλιότησι φρένας.
πρίν τε γενέσθ᾽ ἀχλώσοι, νύκτα τε πάντα κελαινὴν,
οὔτε σ᾽ ἐπαυγάζειν ἥλιον, οὔτε φάος.
καὶ σέλας ἐκλείπειν πολυειδέος ἠὺ σελήνης,
ἄστρα τε πάντ᾽ ὀρφνὴν οὐρανόπηκτα πέλειν.
καὶ τὰ νέφη νοστεῖν μετὰ ὑετὸν ὑδατόεντα,
καὶ τρύχειν σε ἀεὶ ἐκ κακοῦ ἄλλο κακόν.
ἤματι τῷ δὲ φύλακας κρυερὸς τρόμος ἴσχει ἅπαντας,
τοὺς οἶκον φρουρεῖν εὐαλάπαδνον ἔδει.
καὶ οἱ στιβαροὶ ὀκλάζουσ᾽ ἐπὶ δόχμια, δευόμενοι ἀλκῆς,
ὄργανα παῦρά τ᾽ ἔχουσ᾽ ἴσατ᾽ ἀγεῦσα μύλη.
πάγχυ τε μαυροῦνται δι᾽ ὀπῶν οἱ νωὶ βλέποντες
πάντ᾽ εὖ, ἀμβλώπης ἔμμοροι οὐδεμιῆς.
τῶν ἔξω τε θύραι κεκλεισμέναι εἰσὶν ἀγυῶν,
καὶ ἡ δέσποιν᾽ ἀδινὴν γῆρυν ἵησι μύλης.
πρὸς τήν τ᾽ ὀρνίθων φωνὴν διεγείρεθ᾽ ὁ κνώσσων,
καὶ αἱ θυγάτρες πᾶσαι γρῆες ἔασι μελῶν.
ἠδὲ τὰ ἄκρα τρέει, προβιβάντα τε σείετ᾽ ἐν οἴμοις,
χνῷ τε ἀμυγδαλινῷ πᾶσα τέθηλε κόμη.
κάμπτουσίν τ᾽ ὤμους αἱ ἀκρίδες ἀχθοφοροῦσαι,
καὶ μὴ ἔθ᾽ ἡ λιπαρὴ οὖσι τράπεζα φίλη.
τούτων γινομένων ἐπεὶ βροτὸς ἤθει τ᾽ ἀβληχρὸς
πᾶν δέμας, οἱ θάνατον προσαδὸν ἔμμεναι ὁρᾷ.

καὶ τότ᾽ ἀποιχόμενος ζωῆς τῆς ἐνθάδε, μέλλει
δῦναι ἀνοστήτους εἰς ἀΐδαο δόμους.
καὶ οἱ γομφοὶ θανάτου θεράποντες ἓ ἀμφιπολεῦσιν,
οἷς ἀπαξέμεναί μιν προθύρηφι μέλει.
εἰσόκεν ἀργύρεος βρόχος οἴχοιτ᾽ ἄνδιχα τμηθεὶς,
πηγῆσε χρυσῆς μηκέτι νᾶμα ῥέοι.
κλασθείη τε τὸ ὑδροχόον πρὸς τὸ φρέαρ ἄγγος,
καὶ ὁ ἐπὶ τὸν λάκκον σῶς τρόχος οὐκέτ᾽ ἔοι.
καὶ μέθ᾽ ὁ χοῦς στρεφθείη ἑὴν εἰς μητέρα γαῖαν,
ἔνθεν ἄρ᾽ ἔσθ᾽ ὅτε γῆ καὐτὸς ἐλήλυθ᾽ ἐών.
πνεῦμα δὲ ἀμβαίη εἰς πατρίδ᾽ ἔθ᾽ οὐρανὸν αἰπὺν,
πρὸς θεὸν, οὐρανόθεν τοῦδε παρ᾽ ἀνδρὶ δοθέν.
ἠλίθι᾽ ἐστὶν ἅπαντ᾽, ἀνεμώλια πάντ᾽ ἐπὶ γαίης
ἐστὶν, ὃ ἀγρομένοις φὼς μετὰ φησὶ πρέπων.
οὔνομά θ᾽ ὃ κλειτὸν δημηγορίῃσι κιχήσας,
ἧς ἔνι χρήσιμ᾽ ἐὸν πόλλ᾽ ἐδίδαξε λεών.
οὐ πυκινὰ φρονέειν γὰρ ἐνὶ φρεσὶν ἧσ᾽ οἱ ἀπεχρῆν
μυρία τε πλείστοις ἴδμεν αἶσα βροτοῖς:
ἀλλὰ πολυφροσύνης φιλοπευθεῖ τῆς ἔθ᾽ ὁμίλῳ
κοινωνεῖν, αἰεὶ οἱ περὶ πολλοῦ ἔην.
τοὔνεκεν οὐκ ὀλίγας ἀόκνως ζήτησε μεταλλῶν
γνωμολόγους, καὐτὸς τεῦξ᾽, ὑποθημοσύνης
εὑρῶν τε χρηστῶν πάμπολλα διδάγματα μύθων,
χρηστὰ διὰ βραχέων καὶ τάδ᾽ ἔγραψε βροτοῖς.
οἷς κέ τις ἰθύνῃ βίον εὖ τὸν ἔθ᾽ οὐκ ἀπιθήσας,
οὐδὲν ἐπεὶ ψευδός σφιν, δόλος οὔτις ἔνι.
ἀλλὰ φρὲν ἀνδρομένην εἰς εὐδόκιμ᾽ ἔργματ᾽ ὀξύνει,
προτρέψασθ᾽ ἀρετῶν πρὸς γλύκος εἰσὶν ἅπαν.
τοὔνεκα βουκέντροισι σοφῶν τάδε ῥητὰ, καὶ ἥλοις
οὔκεν ἁμαρτοίη φὰς ἐπεικελ᾽ ἔμεν.

ἀλλ' εἰ καὶ πολλοὶ ξεὼν ἐπιστάντες ἔγραψαν,
δόγματα πάντ' ἔμπης ποιμένος ἐστὶν ἑνός.
τοῖς ἀρκούμενος ὦ φίλε παῖ σὺ πλείονα φεῦγε
γράμματα, μὴ σπουδῆς ἄξι' ἐόντα τεῆς.
μυρία γὰρ πλείη καὶ ἀπειρέσι' αἶα γραφόντων
βιβλία, τῶν ὄφελος μηδενὶ μηδὲν ὅμως.
καὶ τὸ μακρηγορέειν διὰ πολλῶν σώματ' ἐπαχθές,
ἔκ τε κενοῖ κράτεος τοῖ σφετέροιο μέλη.
νῦν κεφάλαιον ὅλης διδαχῆς ἐνικάτθεο θυμῷ,
ὅ, ττι σαφῶς ἐν παύραις σοὶ σελίδεσσιν ἐρῶ.
νείοθεν ἐκ κραδίης ἐποπίζεο τὸν θεὸν αἰεί,
ἔν τε μὲν ἀνδρομέῳ οἷς προσέταξε γένει.
τοῦτο γὰρ ἀνθρώπων ἐπὶ γῆς γέρας ἐστὶν ἁπάντων,
τοῦτο μόνον πᾶσι δρᾶν ἐπέοικε βροτοῖς.
ἰθείῃσι δίκῃς ἐπειὴ ξυνὰ πάντα δικάζειν,
τῶν κραδιῶν ἴσως, μέλλει, ὁ οἷος ἐών.
εἰς φάος, εἴς τε κρίσιν προάγων, ὅσα νὺξ ἐρεβεννὴ
κεύθει, ἐν ὀρφναίοις κείμενα καὶ μυχοῖς,
εἴτ' ἀγαθ', εἴτε πάλιν προστάγμασ' ἐναντία θείοις,
ἔργα τ' ἄρεσ' αὐτῷ, ἠὲ καὶ οὐχὶ πέλει.

τέλος.